Transcription:
α    ν̣ο̣ς [  ]    [  ]  [- ca.13 - δάνειον]
ἐ̣π̣ο̣ί̣η̣σ̣ε̣ν̣ ὁ̣ π̣α̣τ̣ή̣ρ̣(*) μ̣ο̣υ καθ᾿ ἑαυτõ(*) οἰκίαν,
ἣν οὐκ ἐσήμηνα ἐγὼ διὰ τῆς ἀπογραφῆς
μου εἰς ἀπόδω̣σ̣ι̣ν̣(*) τριακάδα(*) Μεσορὴ τοῦ ὀγδόο̣υ̣
ἔτους. ἀκολο̣ύ̣θ̣ως ἡ̣ προήκατό μοι ὁ Ὡρίων
διὰ τῆς αὐτῆς τραπέζης(*) τῇ ἐνεστώσῃ ἡμέρα̣
ἀποχῇ, δ[ι᾿ ἧ]ς ἀ]π̣ο̣τ̣έ̣τ̣[α]κ̣ται τον(*) χειρόγραφον
καὶ ἡ γενομένη ὑπὸ τοῦ Ὡρίωνος δ̣ι̣ὰ̣ τοῦ
αὐτοῦ βιβλιοφυλακίου κατο̣χὴ τῆς οἰκίας
πρὸς τὸ αὐτὸ δά̣ν̣ειον, ἧς ἀποχῆς ἀντί-
γραφο̣ν ὑμεῖν(*) ἐξ̣ ἐκτάκτου παραθεμενος(*)
ἐφ᾿ ὑπογραφῇ Σαραπίωνος γ̣ραμματέως τῆς
τ̣ραπέζης, ἀξιῶ ἀπεθῆναι(*) τὴν κατοχὴ̣ν̣
ὡ̣ς καθήκει καὶ ὀμνυμ(*) Αὐτοκράτορα Καίσαρα
Τίτον Αἴλιον Ἁδριανὸν Ἀντωνῖνον Σεβαστὸν
Εὐσεβῆ μὴ ἐψεῦσθαι. (ἔτους) δ Αὐτοκράτορος Καίσαρος
Τίτου Αἰλίου Ἁδρ̣ι̣ανοῦ Ἀντωνίνου Σεβαστοῦ
Εὐσεβοῦς μηνὸς Ἁδ̣ρ̣ιανοῦ κς.

————————
(hand 2) Διογᾶς Διογένευς(*) ἐπιδέδω-
κα καὶ ὀμωκα(*) τὸν ὅ vac. ?ρκομ(*)